τοῦτο συμβαίνειν διὰ τοῦ λόγου· ἀλλὰ μὴ διὰ τὸ προδεδοξάσθαι
ποιόν τινα εἶναι τὸν λέγοντα· οὐ γὰρ ὥσπερ ἔνιοι τῶν τεχνολογούν-
των τιθέασιν ἐν τῇ τέχνῃ, καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν
συμβαλλομένην πρὸς τὸ πιθανόν· ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυρι-
ωτάτην ἔχει πίστιν τὸ ἦθος. διὰ δὲ τῶν ἀκροατῶν, ὅταν εἰς πά-
θος ὑπὸ τοῦ λόγου προαχθῶσιν· οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρί-
σεις λυπούμενοι καὶ χαίροντες· ἢ φιλοῦντες καὶ μισοῦντες·
πρὸς ὃ καὶ μόνον πειρᾶσθαί φαμεν πραγματεύεσθαι τοὺς νῦν
τεχνολογοῦντας· περὶ μὲν οὖν τούτων, δηλωθήσεται καθ᾽ ἕκαστον
ὅταν περὶ τῶν παθῶν λέγωμεν· διὰ δὲ τοῦ λόγου πιστεύουσιν,
ὅταν ἀληθὲς ἢ φαινόμενον δείξωμεν ἐκ τῶν περὶ ἕκαστα πιθανῶν.
ἐπεὶ δ᾽ αἱ πίστεις διὰ τούτων εἰσί, φανερὸν ὅτι ταῦτα τρία ἐστὶ λαβεῖν,
τοῦ συλλογίσασθαι δυναμένου καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη καὶ
τὰς ἀρετάς· καὶ τρίτον τοῦ περὶ τὰ πάθη, τί τε ἕκαστόν τῶν πα-
θῶν· καὶ ποῖόν τι καὶ ἐκ τίνων ἐγγίνεται καὶ πῶς· ὥστε συμ-
βαίνει τὴν ῥητορικὴν, οἷον παραφυές τι μέρος τῆς διαλεκτικῆς
εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, ἣν δίκαιόν ἐστι προσαγο-
ρεύειν πολιτικήν· διὸ καὶ ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς πολι-
τικῆς ἡ ῥητορική· καὶ οἱ ἀντιποιούμενοι ταύτης, τὰ μέν, διὰ
ἀπαιδευσίαν· τὰ δέ, δι᾽ ἀλαζονείαν καὶ δι᾽ ἄλλας αἰτίας ἀνθρωπικάς·
ἔστι γὰρ μόριόν τι τῆς διαλεκτικῆς καὶ ὁμοία καθάπερ καὶ ἀρχό-
μενοι εἴπομεν· περὶ οὐδενὸς γὰρ ὡρισμένου οὐδετέρα αὐτῶν ἐστιν
ἐπιστήμη πῶς ἔχει· ἀλλὰ δυνάμεις τινὲς τοῦ πορίσαι λόγους·
περὶ μὲν οὖν τῆς δυνάμεως αὐτῶν καὶ πῶς ἔχουσι πρὸς ἀλλήλας
εἴρηται σχεδὸν ἱκανῶς· ┌ τῶν δὲ διὰ τοῦ δεικνύναι ἢ φαί-
νεσθαι δεικνύναι καθάπερ καὶ ἐν τοῖς διαλεκτικοῖς τὸ μὲν ἐπα-
γωγή ἐστι· τὸ δέ, συλλογισμός· τὸ δέ, φαινόμενος συλλογισμός,
καὶ ἐνταῦθα ὁμοίως· ἔστι γὰρ τὸ μὲν παράδειγμα ἐπαγωγή·
τὸ δ᾽ ἐνθύμημα, συλλογισμός· καλῶ δ᾽ ἐνθύμημα μέν, ῥητο-

*Marginalia:* rhe. est ex dialectica et civili composita est. — Quibus instrumentis utatur orator. — Dialectica probat per syllogismum & inductionem. orator per enthymema & exemplum. & enthy: obtinet locum syllog. exemplum: inductionis.